# ΕΛΛΗΝΙΚΗ ΑΝΘΟΛΟΓΙΑ

## ΟΜΗΡΟΣ

### 1

ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοὶ
καὶ δὴ δοῦρα σέσηπε νεῶν, καὶ σπάρτα λέλυνται
αἱ δὲ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα
εἵατ' ἐνὶ μεγάροις ποτιδέγμεναι· ἄμμι δὲ ἔργον
αὔτως ἀκράαντον, οὗ εἵνεκα δεῦρ' ἱκόμεσθα.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρῖδα γαῖαν·
οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν.
῞Ως φάτο· τοῖσι δὲ θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν,
πᾶσι μετὰ πληθύν, ὅσοι οὐ βουλῆς ἐπάκουσαν.
κινήθη δ' ἀγορή, ὡς κύματα μακρὰ θαλάσσης
πόντου Ἰκαρίοιο, τὰ μὲν τ' Εὖρός τε Νότος τε
ὤρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων.
ὡς δ' ὅτε κινήσῃ Ζέφυρος βαθὺ λήιον ἐλθών,
λάβρος ἐπαιγίζων, ἐπί τ' ἠμύει ἀσταχύεσσιν·
ὥς τῶν πᾶσ' ἀγορὴ κινήθη· τοὶ δ' ἀλαλητῷ
νῆας ἐπ' ἐσσεύοντο, ποδῶν δ' ὑπένερθε κονίη
ἵστατ' ἀειρομένη· τοὶ δ' ἀλλήλοισι κέλευον,
ἅπτεσθαι νηῶν, ἠδ' ἑλκέμεν εἰς ἅλα δῖαν
οὐρούς τ' ἐξεκάθαιρον· ἀυτὴ δ' οὐρανὸν ἷκεν,
οἴκαδε ἱεμένων· ὑπὸ δ' ᾕρεον ἕρματα νηῶν.
῎Ενθα κεν Ἀργείοισιν ὑπέρμορα νόστος ἐτύχθη,
εἰ μὴ Ἀθηναίην ῞Ηρη πρὸς μῦθον ἔειπεν·
῏Ω πόποι! αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη,
οὕτω δὴ οἶκόνδε, φίλην ἐς πατρίδα γαῖαν,
Ἀργεῖοι φεύξονται ἐπ' εὐρέα νῶτα θαλάσσης;
κὰδ δέ κεν εὐχωλὴν Πριάμῳ καὶ Τρωσὶ λίποιεν
Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλοὶ Ἀχαιῶν
ἐν Τροίῃ ἀπόλοντο, φίλης ἀπὸ πατρίδος αἴης;
ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων·
σοῖς ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον.
μηδὲ ἔα νῆας ἅλαδ' ἑλκέμεν ἀμφιελίσσας.

(Β 134-65)

### 2

σοὶ δ' οὐ θέσφατόν ἐστι, διοτρεφὲς ὦ Μενέλαε,
῎Αργει ἐν ἱπποβότῳ θανέειν καὶ πότμον ἐπισπεῖν
ἀλλὰ σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης
ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς,
τῇ περ ῥηίστη βιοτὴ πέλει ἀνθρώποισιν·
οὐ νιφετός, οὔτ' ἂρ χειμὼν πολὺς οὔτ' ποτ' ὄμβρος,
ἀλλ' ἀεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας
Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους·
οὕνεκ' ἔχεις Ἑλένην καί σφι γαμβρὸς Διὸς ἐσσι.

(δ 561-9)

### 3

ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη γλαυκῶπις Ἀθήνη
Οὔλυμπόνδ', ὅσι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
ἔμμεναι. οὔτ' ἀνέμοισι τινάσσεται οὔτε ποτ' ὄμβρῳ
δεύεται οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη
πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη·
τῷ ἔνι τέρπονται μάκαρες θεοὶ ἤματα πάντα.
ἔνθ' ἀπέβη γλαυκῶπις, ἐπεὶ διεπέφραδε κούρῃ.

(ζ 41-7)

## ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

### 1

οὐδέ με λήθει
ἄρτος τρισκαπάνιστος ἀπ' εὐκύκλου κανέοιο,
οὐδὲ πλακοῦς τανύπεπλος ἔχων πολὺ σησαμότυρον,
οὐ τόμος ἐκ πτέρνης, οὐχ ἥπατα λευκοχίτωνα,
οὐ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος,
οὐ χρηστὸν μελίτωμα, τὸ καὶ μάκαρες ποθέουσιν,
οὐδ' ὅσα πρὸς θοίνας μερόπων τεύχουσι μάγειροι,
κοσμοῦντες λύτρας ἀρτύμασι παντοδαποῖσιν.

### 2

Ταῦτ' εἰπὼν ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
καὶ τοὺς μὲν ῥ' ἐκόρυσσεν ῎Αρης πολέμοιο μεμηλώς·
κνημῖδας μὲν πρῶτον ἐφήρμοσαν εἰς δύο μηρούς,
ῥήξαντες κυάμους χλωρούς, εὖ δ' ἀσκήσαντες,
οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.
θώρηκας δ' εἶχαν καλαμοστεφέων ἀπὸ βυρσῶν,
οὓς γαλέην δείραντες ἐπισταμένως ἐποίησαν.
ἀσπὶς δ' ἦν λύχνου τὸ μεσόμφαλον· ἡ δὲ νυ λόγχη
εὐμήκης βελόνη, παγχάλκεον ἔργον ῎Αρηος
ἡ δὲ κόρυς τὸ λέπυρον ἐπὶ κροτάφοις ἐρεβίνθου.

### 3

῞Ως εἰπὼν ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
φύλλοις μὲν μαλαχῶν κνήμας ἑὰς ἀμφεκάλυψαν,
θώρηκας δ' εἶχον καλῶν χλοερῶν ἀπὸ σεύτλων,
φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν,
ἔγχος δ' ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει,
καὶ ῥα κέρα κοχλιῶν λεπτῶν ἐκάλυπτε κάρηνα.
Φραξάμενοι δ' ἔστησαν ἐπ' ὄχθαις ὑψηλαῖσι
σείοντες λόγχας, θυμοῦ δ' ἔμπλητο ἕκαστος.

### 4

ἀλλ' ἄγε παυσώμεθα θεοὶ τούτοισιν ἀρήγειν,
μή κέ τις ὑμείων τρωθῇ βέλει ὀξυόεντι·
εἰσὶ γὰρ ἀγχέμαχοι, εἰ καὶ θεὸς ἀντίον ἔλθοι·
πάντες δ' οὐρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.

### 5

Κραμβοβάτης δὲ ἰδὼν πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτόν,

καὶ τὸ μέτωπον ἔχρισε καὶ ἐξετύφλου παρὰ μικρόν.
ὠργίσθη δ' ἄρ' ἐκεῖνος, ἑλὼν δ' ἄρα χειρὶ παχείῃ
κείμενον ἐν δαπέδῳ λίθον ὄμβριμον, ἄχθος ἀρούρης,
τῷ βάλε Κραμβοβάτην ὑπὸ γόνατα· πᾶσα δ' ἐκλάσθη
κνήμη δεξιτερή, πέσε δ' ὕπτιος ἐν κονίῃσι.

6

Ἦν δέ τις ἐν μυσὶ παῖς Μεριδάρπαξ ἔξοχος ἄλλων,
Κναίσωνος φίλος υἱὸς ἀμύμονος ἀρτεπιβούλου·
οἴκαδ' ἴεν, πολέμου δὲ μετασχεῖν παῖδ' ἐκέλευεν·
οὗτος ἀναρπάξαι βατράχων γενεὴν ἐπαπείλει·
ἀγχοῦ δ' ἕστηκεν μενεαίνων ἶφι μάχεσθαι
καὶ ῥήξας καρύοιο μέσην ῥάχιν εἰς δύο μοίρας
φράγδην ἀμφοτέροισι κενώμασι χεῖρας ἔθηκεν·
οἱ δὲ τάχος δείσαντες ἔβαν πάντες κατὰ λίμνην·
καὶ νύ κεν ἐξετέλεσσεν ἐπεὶ μέγα οἱ σθένος ἦεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεων τε.
καὶ τότ' ἀπολλυμένους βατράχους ᾤκτειρε Κρονίων,
κινήσας δὲ κάρη τοίην ἐφθέγξατο φωνήν·
"Ὢ πόποι ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Ἅρπαξ ἐν βατράχοισιν ἀμείβεται· ἀλλὰ τάχιστα
Παλλάδα πέμψωμεν πολεμόκλονον ἢ καὶ Ἄρηα,
οἵ μιν ἐπισχήσασι μάχης κρατερόν περ ἐόντα.

7

Ἦλθον δ' ἐξαίφνης νωτάκμονες, ἀγκυλοχεῖλαι,
λοξοβάται, στρεβλοί, ψαλιδόστομοι, ὀστρακόδερμοι,
ὀστοφυεῖς, πλατύνωτοι, ἀποστίλβοντες ἐν ὤμοις,
βλαισοί, χειλοτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,
ὀκτάποδες, δικάρηνοι, ἀχειρέες, οἱ δὲ καλεῦνται
καρκίνοι, οἵ ῥα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον
ἠδὲ πόδας καὶ χεῖρας· ἀνεγνάμπτοντο δὲ λόγχαι.
τοὺς δὴ ὑπέδεισαν δειλοὶ μύες οὐδ' ἔτ' ἔμειναν,
ἐς δὲ φυγὴν ἐτράποντο· ἐδύετο δ' ἥλιος ἤδη,
καὶ πολέμου τελετὴ μονήμερος ἐξετελέσθη.

## ΒΥΖΑΝΤΙΝΗ ΠΟΙΗΣΗ

Ἐμαυτὸν ἀπελπίζω, ἐννοῶν τὰ ἔργα μου Κύριε, τὰ πάσης τιμωρίας ἐπάξια· ἰδοὺ γὰρ παραβλέψας, τὰ σεπτά σου Σῶτερ ἐντάλματα, ἀσώτως μου τὸν βίον ἠνάλωσα· διὸ καθικετεύω, μετανοίας ὄμβροις με, καθάρας, νηστείᾳ καὶ δεήσεις, ὡς μόνος Ἐλεήμων ἐκλάμπρυνον, καὶ μὴ βδελύξῃ με Εὐεργέτα τῶν ἁπάντων, καὶ Ὑπεράγαθε.

***

Πῶς τὴν ἐμήν, νῦν ἀποκλαύσομαι ἔκπτωσιν; ποίαν ἀρχὴν ποιήσομαι, τῆς σωτηρίας μου, ὁ ἀσώτως βιώσας; Οἰκτίρμον οἷς περ οἶδας, κρίμασι, σῶσόν με.

***

Ἴδε καιρός, ἴδε ἡμέρα σωτήριος, ἡ τῆς Νηστείας εἴσοδος, ψυχὴ γρηγόρησον, καὶ παθῶν τὰς εἰσόδους ἀπόκλεισον Κυρίῳ ἐνατενίζουσα.

***

Ἁμαρτιῶν, ἡ τρικυμία χειμάζουσα, ἐπὶ βυθὸν καθέλκει με τῆς ἀπογνώσεως· ἀλλὰ σοῦ τῷ πελάγει, προστρέχω τοῦ ἐλέους. Σῶσόν με Κύριε.

***

Μόνος ἐγώ, τῇ ἁμαρτίᾳ δεδούλωμαι· μόνος ἐγώ, τοῖς πάθεσι, θύραν ἠνέῳξα, εὐδιάλλακτε Λόγε· ἐπίστρεψόν με, σῶσον, τῇ εὐσπλαχνίᾳ σου.

***

Πᾶσαν ἁμαρτίαν διεπραξάμην, πάντας ὑπερέβην τῇ ἀσωτίᾳ· ἐὰν θελήσω μετανοῆσαι, οὐκ ἔχω δακρύων ὀχετούς· ἐὰν ῥαθύμως καὶ νῦν βιώσω, κολάσει ὑπόδικός εἰμι. Ἀλλὰ δός μοι διόρθωσιν, μόνε ἀγαθέ, ὁ Θεός, καὶ ἐλέησόν με.

***

Πῦρ παρὰ Κυρίου ποτέ, Κύριος ἐπιβρέξας, τὴν γῆν Σοδόμων πρὶν κατέφλεξεν.

Εἰς τὸ ὄρος φεῦγε, ψυχή, ὥσπερ ὁ Λὼτ ἐκεῖνος, καὶ εἰς Σηγὼρ προανασώθητι.

Φεῦγε ἐμπρησμόν, ὦ ψυχή, φεῦγε Σοδόμων καῦσιν, φεῦγε φθορὰν θείας φλογώσεως.

Ἥμαρτόν σοι μόνος ἐγώ, ἥμαρτον ὑπὲρ πάντας, Χριστὲ Σωτὴρ μὴ ὑπερίδῃς με.

Σὺ εἶ ὁ Ποιμὴν ὁ καλός, ζήτησόν με τὸν ἄρνα, καὶ πλανηθέντα μὴ παρίδῃς με.

Σὺ εἶ ὁ γλυκὺς Ἰησοῦς, σὺ εἶ ὁ Πλαστουργός μου· ἐν σοὶ Σωτὴρ δικαιωθήσομαι.

Ἐξομολογοῦμαί σοι Σωτήρ· Ἥμαστόν σοι ἀμέτρως· ἀλλ' ἄνες ἄφες μοι, ὡς εὔσπλαχνος.

***

Τὰ δάκρυα Σωτὴρ τῶν ὀμμάτων μου, καὶ τοὺς ἐκ βάθους στεναγμούς, καθαρῶς προσφέρω,, βοώσης τῆς καρδίας. Ὁ Θεὸς ἡμάρτηκά σοι, ἱλάσθητί μοι.

***

Ἐξένευσας ψυχὴ τοῦ Κυρίου σου, ὥσπερ Δαθὰν καὶ Ἀβειρών· ἀλλά, φεῖσαι, κρᾶξον, ἐξ Ἅδου κατωτάτου, ἵνα μὴ τὸ χάσμα, τῆς γῆς σε συγκαλύψῃ.

***

Ὡς δάμαλις ψυχὴ παροιστρήσασα, ἐξωμοιώθης τῷ Ἐφραίμ· ὡς δορκὰς ἐκ βρόχων, ἀνάσωσον τὸν βίον, πετρωθεῖσα πράξει, καὶ νῷ καὶ θεωρίᾳ.

***

Ἡ χεὶρ ἡμᾶς Μωσέως πιστώσεται, ψυχὴ πῶς δύναται Θεός, λεπρωθέντα βίον, λευκᾶναι καὶ καθᾶραι· καὶ μὴ ἀπογνῷς σεαυτήν, κἂν ἐλεπρώθης.

***

Ψυχή μου, ψυχή μου, ἀνάστα, τί καθεύδεις;